καί γε καρδία υἱῶν τοῦ ἀνθρώπου ἐπληρώθη πονηροῦ,
καὶ περιφέρεια ἐν καρδίᾳ αὐτῶν ἐν ζωῇ αὐτῶν,
καὶ ὀπίσω αὐτῶν πρὸς τοὺς νεκρούς.
4 ὅτι τίς ὃς κοινωνεῖ πρὸς πάντας τοὺς ζῶντας;
ἔστιν ἐλπίς, ὅτι ὁ κύων ὁ ζῶν, αὐτὸς ἀγαθὸς
ὑπὲρ τὸν λέοντα τὸν νεκρόν.
5 ὅτι οἱ ζῶντες γνώσονται ὅτι ἀποθανοῦνται,
καὶ οἱ νεκροὶ οὔκ εἰσιν γινώσκοντες οὐδέν·
καὶ οὐκ ἔστιν αὐτοῖς ἔτι μισθός,
ὅτι ἐπελήσθη ἡ μνήμη αὐτῶν·
6 καί γε ἀγάπη αὐτῶν καί γε μῖσος αὐτῶν
καί γε ζῆλος αὐτῶν ἤδη ἀπώλετο,
καὶ μερὶς οὐκ ἔστιν αὐτοῖς ἔτι εἰς αἰῶνα
ἐν παντὶ τῷ πεποιημένῳ ὑπὸ τὸν ἥλιον.
7 Δεῦρο φάγε ἐν εὐφροσύνῃ ἄρτον σου
καὶ πίε ἐν καρδίᾳ ἀγαθῇ οἶνόν σου,
ὅτι ἤδη εὐδόκησεν ὁ θεὸς τὰ ποιήματά σου.
8 ἐν παντὶ καιρῷ ἔστωσαν ἱμάτιά σου λευκά,
καὶ ἔλαιον ἐπὶ κεφαλήν σου μὴ ὑστερησάτω.
9 ἰδὲ ζωὴν μετὰ γυναικός, ἧς ἠγάπησας,
πάσας ἡμέρας ζωῆς ματαιότητός σου
τὰς δοθείσας σοι ὑπὸ τὸν ἥλιον,
πάσας ἡμέρας ματαιότητός σου,
ὅτι αὐτὸ μερίς σου ἐν τῇ ζωῇ σου
καὶ ἐν τῷ μόχθῳ σου, ᾧ σὺ μοχθεῖς ὑπὸ τὸν ἥλιον.
10 πάντα, ὅσα ἂν εὕρῃ ἡ χείρ σου τοῦ ποιῆσαι,
ὡς ἡ δύναμίς σου ποίησον,
ὅτι οὐκ ἔστιν ποίημα καὶ λογισμὸς καὶ γνῶσις
καὶ σοφία ἐν ᾅδῃ, ὅπου σὺ πορεύῃ ἐκεῖ.
11 Ἐπέστρεψα καὶ εἶδον ὑπὸ τὸν ἥλιον
ὅτι οὐ τοῖς κούφοις ὁ δρόμος
καὶ οὐ τοῖς δυνατοῖς ὁ πόλεμος
καί γε οὐ τοῖς σοφοῖς ἄρτος
καί γε οὐ τοῖς συνετοῖς πλοῦτος
καί γε οὐ τοῖς γινώσκουσιν χάρις,
ὅτι καιρὸς καὶ ἀπάντημα συναντήσεται τοῖς πᾶσιν αὐτοῖς.

$4^{2}$ οτι > S† || $5^{4}$ επλησθη SAV† || $6^{1}$ απατη S† | μισθος A† | $6^{3}$ και] + γε BS* || $7^{1}$ αρτον] pr. τον SA | $7^{3}$ ηδη > A || $8^{1}$ ιματια] pr. τα S | $8^{2}$ κεφαλην BA†] -λης rel. || $9^{1}$ ιδε La†] pr. και mss. | $9^{2}$ πασας] + τας SA | $9^{4}$] > ABc; πασαι ημεραι ημεραι (sic) ατμου σου B*†: ατμου Aquilam redolet, cf. nota ad init. libri | $9^{5}$ αυτος S† | $9^{6}$ εν > S† | συ > A† || $11^{1}$ υπεστρεψα S† | $11^{2}$ et $11^{3}$ ο > B† | $11^{4}$ τω σοφω B† | αρτος] pr. ο SA | $11^{5}$ γε > BV† | πλουτος] pr. ο SA | $11^{7}$ τοις πασιν] συμπ. B: cf. 2 12